# ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ

*Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαυεὶδ* 1
*υἱοῦ Ἀβραάμ.*
*Ἀβραὰμ ἐγέννησεν τὸν Ἰσαάκ, Ἰσαὰκ δὲ ἐγέν-* 2
*νησεν τὸν Ἰακώβ, Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰούδαν*
*καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, Ἰούδας δὲ ἐγέννησεν* 3
*τὸν Φαρὲς καὶ τὸν Ζαρὰ ἐκ τῆς Θάμαρ, Φαρὲς*
*δὲ ἐγέννησεν τὸν Ἐσρώμ, Ἐσρὼμ δὲ ἐγέννησεν τὸν*
*Ἀράμ, ¦ Ἀρὰμ δὲ ἐγέννησεν τὸν Ἀμιναδάβ, Ἀμινα-* 4
*δὰβ δὲ ἐγέννησεν τὸν Ναασσών, Ναασσὼν δὲ ἐγέν-*
*νησεν τὸν Σαλμών, Σαλμὼν δὲ ἐγέννησεν τὸν Βοὲς* 5
*ἐκ τῆς Ῥαχάβ, Βοὲς δὲ ἐγέννησεν τὸν Ἰωβὴδ ἐκ τῆς*
*Ῥούθ, Ἰωβὴδ δὲ ἐγέννησεν τὸν Ἰεσσαί, ¦ Ἰεσσαὶ δὲ* 6
*ἐγέννησεν τὸν Δαυεὶδ τὸν βασιλέα. Δαυεὶδ δὲ ἐγέν-*
*νησεν τὸν Σολομῶνα ἐκ τῆς τοῦ Οὐρίου, Σολομὼν* 7
*δὲ ἐγέννησεν τὸν Ῥοβοάμ, Ῥοβοὰμ δὲ ἐγέννησεν τὸν*
*Ἀβιά, Ἀβιὰ δὲ ἐγέννησεν τὸν Ἀσάφ, ¦ Ἀσὰφ δὲ ἐγέν-* 8
*νησεν τὸν Ἰωσαφάτ, Ἰωσαφὰτ δὲ ἐγέννησεν τὸν*
*Ἰωράμ, Ἰωρὰμ δὲ ἐγέννησεν τὸν Ὀζείαν, ¦ Ὀζείας δὲ* 9
*ἐγέννησεν τὸν Ἰωάθαμ, Ἰωάθαμ δὲ ἐγέννησεν τὸν*
*Ἄχαζ, Ἄχαζ δὲ ἐγέννησεν τὸν Ἐζεκίαν, ¦ Ἐζεκίας δὲ* 10
*ἐγέννησεν τὸν Μανασσῆ, Μανασσῆς δὲ ἐγέννησεν τὸν*
*Ἀμώς, Ἀμὼς δὲ ἐγέννησεν τὸν Ἰωσείαν, ¦ Ἰωσείας* 11
*δὲ ἐγέννησεν τὸν Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ*

**1–17:** L 3, 23–38.
1 Chr 17,11. Gn 22,18.
Gn 21, 3.12; 25,26; 29,35; 49,10. 1 Chr 1,34.
1 Chr 2,5.9. Gn 38, 29.30. Rth 4,18–22. 1 Chr 2,10 s.
Rth 4,13–17.
2 Sm 12,24.
1 Chr 3,10–16.

---

R *ευαγγελιον κ. Μ.* 1,*3* H *Ἑσρωμ* *8 εγεννησεν 3⁰*: hʳ+ *τον Οχοζιαν, Οχοζιας δε εγεννησεν τον Ιωας, Ιωας δε εγεννησεν τον Αμασιαν, Αμασιας δε εγεννησεν* *9* H *Ιωαθάμ, Ιωαθὰμ* | H *Αχας* *9.10* H *Ἑζεκ.* *11 εγεννησεν*: hʳ+ *τον Ιωακειμ, Ιωακειμ δε εγεννησεν*

---

1,*7 Αβιουδ* *7.8 Ασα* *10 Αμων*

1 Chr 3,17. Esra 3,2. 12 ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος. Μετὰ δὲ τὴν μετ-
οικεσίαν Βαβυλῶνος Ἰεχονίας ἐγέννησεν τὸν Σα-
λαθιήλ, Σαλαθιὴλ δὲ ἐγέννησεν τὸν Ζοροβάβελ,
13 ˈ Ζοροβάβελ δὲ ἐγέννησεν τὸν Ἀβιούδ, Ἀβιοὺδ δὲ
ἐγέννησεν τὸν Ἐλιακείμ, Ἐλιακεὶμ δὲ ἐγέννησεν
14 τὸν Ἀζώρ, ˈ Ἀζὼρ δὲ ἐγέννησεν τὸν Σαδώκ, Σαδὼκ
δὲ ἐγέννησεν τὸν Ἀχείμ, Ἀχεὶμ δὲ ἐγέννησεν τὸν
15 Ἐλιούδ, ˈ Ἐλιοὺδ δὲ ἐγέννησεν τὸν Ἐλεάζαρ, Ἐλεά-
ζαρ δὲ ἐγέννησεν τὸν Μαθθάν, Μαθθὰν δὲ ἐγέν-
27,17.22. 16 νησεν τὸν Ἰακώβ, ˈ Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰωσὴφ
τὸν ἄνδρα Μαρίας, ˊἐξ ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγό-
μενος Χριστός.
17 Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαυείδ
γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ Δαυεὶδ ἕως τῆς
μετοικεσίας Βαβυλῶνος γενεαὶ δεκατέσσαρες, καὶ
ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ
γενεαὶ δεκατέσσαρες.

L 1,35. 18 Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γένεσις οὕτως ἦν.
μνηστευθείσης τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰω-
σήφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς εὑρέθη ἐν γαστρὶ
19 ἔχουσα ἐκ πνεύματος ἁγίου. Ἰωσὴφ δὲ ὁ ἀνὴρ
αὐτῆς, δίκαιος ὢν καὶ μὴ θέλων αὐτὴν δειγμα-
18. 20 τίσαι, ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν. ταῦτα
δὲ αὐτοῦ ἐνθυμηθέντος, ἰδοὺ ἄγγελος κυρίου κατ᾽
ὄναρ ἐφάνη αὐτῷ λέγων· Ἰωσὴφ υἱὸς Δαυείδ, μὴ
φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου·
τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ πνεύματός ἐστιν
L 1,31; 2,21. Act 4,12. 21 ἁγίου. τέξεται δὲ υἱόν, καὶ καλέσεις τὸ ὄνομα
αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ
Is 7,14. 22 ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. Τοῦτο δὲ ὅλον γέγονεν

*18* H [ΙΗΣΟΥ] ΧΡΙΣΤΟΥ, **h** χριστοῦ Ἰησοῦ | **h**[r] γεννησις *20* H Μαριαν

*16* Ιωσηφ, ω μνηστευθεισα παρθενος Μαριαμ εγεννησεν τον Ιησουν τον λεγομενον Χριστον

ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ κυρίου διὰ τοῦ προ-
φήτου λέγοντος·
**ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν,** 23
**καὶ καλέσουσιν τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ,**
ὅ ἐστιν μεθερμηνευόμενον **μεθ' ἡμῶν ὁ θεός.**
ἐγερθεὶς δὲ [ὁ] Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου ἐποίησεν 24
ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος κυρίου, καὶ παρ-
έλαβεν τὴν γυναῖκα αὐτοῦ· καὶ οὐκ ἐγίνωσκεν 25 L 2,7.
αὐτὴν ἕως οὗ ἔτεκεν υἱόν· καὶ ἐκάλεσεν τὸ ὄνομα
αὐτοῦ Ἰησοῦν.

Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰου- 2 L 2,1–7.
δαίας ἐν ἡμέραις Ἡρῴδου τοῦ βασιλέως, ἰδοὺ μάγοι
ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα | λέ- 2 Nu 24,17.
γοντες· ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαί-
ων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ,
καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. ἀκούσας δὲ ὁ βα- 3
σιλεὺς Ἡρῴδης ἐταράχθη, καὶ πᾶσα Ἱεροσόλυμα
μετ' αὐτοῦ, καὶ συναγαγὼν πάντας τοὺς ἀρχιερεῖς 4
καὶ γραμματεῖς τοῦ λαοῦ ἐπυνθάνετο παρ' αὐτῶν
ποῦ ὁ Χριστὸς γεννᾶται. οἱ δὲ εἶπαν αὐτῷ· ἐν 5 Mch 5,1. J 7,42.
Βηθλεὲμ τῆς Ἰουδαίας· οὕτως γὰρ γέγραπται διὰ
τοῦ προφήτου·
**καὶ σύ, Βηθλεὲμ γῆ Ἰούδα,** 6
**οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα·**
**ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος,**
**ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ.**
Τότε Ἡρῴδης λάθρᾳ καλέσας τοὺς μάγους 7
ἠκρίβωσεν παρ' αὐτῶν τὸν χρόνον τοῦ φαινομένου
ἀστέρος, καὶ πέμψας αὐτοὺς εἰς Βηθλεὲμ εἶπεν· 8
πορευθέντες ἐξετάσατε ἀκριβῶς περὶ τοῦ παιδίου·

---

24 [ο] : R—T 25 H [οὗ] | hʳ τον υιον [αυτης] τον πρωτοτοκον 2,6 T σὺ Βηθλεέμ,

---

23 καλεσεις 2,4 — παρ αυτων 6 Β. της Ιουδαιας

*ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ*
9 *ἐλθὼν προσκυνήσω αὐτῷ. οἱ δὲ ἀκούσαντες τοῦ*
*βασιλέως ἐπορεύθησαν· καὶ ἰδοὺ ὁ ἀστήρ, ὃν εἶδον*
*ἐν τῇ ἀνατολῇ, προῆγεν αὐτοὺς ἕως ἐλθὼν ἐστάθη*
10 *ἐπάνω οὗ ἦν τὸ παιδίον. ἰδόντες δὲ τὸν ἀστέρα*
Ps 72,10.15. Is 60,6. 11 *ἐχάρησαν χαρὰν μεγάλην σφόδρα. καὶ ἐλθόντες*
*εἰς τὴν οἰκίαν εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς*
*μητρὸς αὐτοῦ, καὶ πεσόντες προσεκύνησαν αὐτῷ,*
*καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν προσήνεγκαν*
12 *αὐτῷ δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν. καὶ χρη-*
*ματισθέντες κατ᾽ ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρῴδην,*
*δι᾽ ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν.*
13 *Ἀναχωρησάντων δὲ αὐτῶν, ἰδοὺ ἄγγελος κυρίου*
*φαίνεται κατ᾽ ὄναρ τῷ Ἰωσὴφ λέγων· ἐγερθεὶς*
*παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ*
*φεῦγε εἰς Αἴγυπτον, καὶ ἴσθι ἐκεῖ ἕως ἂν εἴπω*
*σοι· μέλλει γὰρ Ἡρῴδης ζητεῖν τὸ παιδίον τοῦ*
14 *ἀπολέσαι αὐτό. ὁ δὲ ἐγερθεὶς παρέλαβεν τὸ παιδίον*
*καὶ τὴν μητέρα αὐτοῦ νυκτὸς καὶ ἀνεχώρησεν εἰς*
Hos 11,1. 15 *Αἴγυπτον, καὶ ἦν ἐκεῖ ἕως τῆς τελευτῆς Ἡρῴδου·*
*ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ κυρίου διὰ τοῦ προ-*
*φήτου λέγοντος·* **ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου.**
16 *Τότε Ἡρῴδης ἰδὼν ὅτι ἐνεπαίχθη ὑπὸ τῶν*
*μάγων ἐθυμώθη λίαν, καὶ ἀποστείλας ἀνεῖλεν*
*πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ καὶ ἐν*
*πᾶσι τοῖς ὁρίοις αὐτῆς ἀπὸ διετοῦς καὶ κατωτέρω,*
*κατὰ τὸν χρόνον ὃν ἠκρίβωσεν παρὰ τῶν μάγων.*
Jr 31,15. 17 *τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ προ-*
*φήτου λέγοντος·*
Gn 35,19. 18 **φωνὴ ἐν Ῥαμὰ ἠκούσθη,**
**κλαυθμὸς καὶ ὀδυρμὸς πολύς·**

---

*11 τους θησ.:* h[r] *τας πηρας* *13* h *κατ οναρ εφανη*
*18* R *Ραμᾶ*

---

*11 τον παιδα, it. 13. 14. 20. 21.* *17 ρηθεν:* + *υπο κυριου*
*18 κλαυθμος :* pr *θρηνος και*

**Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς,**
**καὶ οὐκ ἤθελεν παρακληθῆναι, ὅτι οὐκ εἰσίν.**

*Τελευτήσαντος δὲ τοῦ Ἡρῴδου, ἰδοὺ ἄγγελος* 19
*κυρίου φαίνεται κατ' ὄναρ τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ*
*ˡλέγων· ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν* 20 Ex 4,19.
*μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ· τεθνή-*
*κασιν γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου.*
*ὁ δὲ ἐγερθεὶς παρέλαβεν τὸ παιδίον καὶ τὴν μη-* 21
*τέρα αὐτοῦ καὶ εἰσῆλθεν εἰς γῆν Ἰσραήλ. ἀκού-* 22
*σας δὲ ὅτι Ἀρχέλαος βασιλεύει τῆς Ἰουδαίας ἀντὶ*
*τοῦ πατρὸς αὐτοῦ Ἡρῴδου ἐφοβήθη ἐκεῖ ἀπελ-*
*θεῖν· χρηματισθεὶς δὲ κατ' ὄναρ ἀνεχώρησεν εἰς*
*τὰ μέρη τῆς Γαλιλαίας, καὶ ἐλθὼν κατῴκησεν εἰς* 23 L 1,26; 2,39.
*πόλιν λεγομένην Ναζαρέτ· ὅπως πληρωθῇ τὸ ῥηθὲν* Is 11,1; 53,2. J 1,46.
*διὰ τῶν προφητῶν ὅτι Ναζωραῖος κληθήσεται.*

*Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται* 3 1–12: Mc 1,1–8.
*Ἰωάννης ὁ βαπτιστὴς κηρύσσων ἐν τῇ ἐρήμῳ* L 3,1–18.
*τῆς Ἰουδαίας, ˡλέγων· μετανοεῖτε· ἤγγικεν γὰρ ἡ* 2 L 1,13. 4,17.
*βασιλεία τῶν οὐρανῶν. οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς* 3 Is 40,3.
*διὰ Ἠσαΐου τοῦ προφήτου λέγοντος·* J 1,23.

**φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ·**
**ἑτοιμάσατε τὴν ὁδὸν κυρίου,**
**εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.**

*Αὐτὸς δὲ ὁ Ἰωάννης εἶχεν τὸ ἔνδυμα αὐτοῦ ἀπὸ* 4 2 Rg 1,8.
*τριχῶν καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν*
*ὀσφὺν αὐτοῦ· ἡ δὲ τροφὴ ἦν αὐτοῦ ἀκρίδες καὶ μέλι*
*ἄγριον. Τότε ἐξεπορεύετο πρὸς αὐτὸν Ἱεροσόλυμα* 5
*καὶ πᾶσα ἡ Ἰουδαία καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορ-*
*δάνου, καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ποταμῷ ὑπ'* 6
*αὐτοῦ ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. Ἰδὼν* 7 23,33.
*δὲ πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐρχο-*
*μένους ἐπὶ τὸ βάπτισμα εἶπεν αὐτοῖς· γεννήματα*
*ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελ-*

---

**23 T *Ναζαρεθ***

---

**3,7 *βαπτισμα*: + *αυτου***

8 *λούσης ὀργῆς; ποιήσατε οὖν καρπὸν ἄξιον τῆς*
R 2,28.29; 4,12. J 8,33.39. 9 *μετανοίας· ˡκαὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς· πατέρα*
*ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν ὅτι δύναται*
*ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ*
L 13,7–9. 10 *Ἀβραάμ. ἤδη δὲ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν*
*δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρ-*
J 1,26.27.33. Act 1,5. 11 *πὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. ἐγὼ*
*μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι εἰς μετάνοιαν· ὁ δὲ*
*ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μού ἐστιν, οὗ*
*οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι· αὐτὸς*
13,30. 12 *ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί· οὗ τὸ*
*πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα*
*αὐτοῦ, καὶ συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀπο-*
*θήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ.*
13–17: Mc 1,9–11. L 3,21.22. J 1,31–34. 13 *Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας*
*ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην τοῦ βαπ-*
14 *τισθῆναι ὑπ᾽ αὐτοῦ. ὁ δὲ διεκώλυεν αὐτὸν λέγων·*
*ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ*
15 *ἔρχῃ πρός με; ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν*
*πρὸς αὐτόν· ἄφες ἄρτι· οὕτως γὰρ πρέπον ἐστὶν*
*ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. τότε ἀφίησιν*
16 *αὐτόν. βαπτισθεὶς δὲ ὁ Ἰησοῦς εὐθὺς ἀνέβη ἀπὸ*
*τοῦ ὕδατος· καὶ ἰδοὺ ἠνεῴχθησαν οἱ οὐρανοί, καὶ*
*εἶδεν πνεῦμα θεοῦ καταβαῖνον ὡσεὶ περιστεράν,*
17,5. Is 42,1. 17 *ἐρχόμενον ἐπ᾽ αὐτόν· καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐ-*
*ρανῶν λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπη-*
1–11: Mc 1,12.13. L 4,1–13. *τός, ἐν ᾧ εὐδόκησα.*
H 4,15. **4** *Τότε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ*
Ex 34,28. 1 Rg 19,8. *τοῦ πνεύματος, πειρασθῆναι ὑπὸ τοῦ διαβόλου.*
2 *καὶ νηστεύσας ἡμέρας τεσσεράκοντα καὶ νύκτας*
Gn 3,1–7. 3 *τεσσεράκοντα ὕστερον ἐπείνασεν. καὶ προσελθὼν*

---

*12 αποθηκην*: h+ *αυτου*   *15 προς αυτον*: 𝔎 *αυτω* | fin hʳ+ et cum baptizaretur, lumen ingens circumfulsit de aqua, ita ut timerent omnes qui advenerant. *16 ηνεωχθ.*: T *ανεωχθ.*, h+ *αυτω*   *17* h *μου, ο αγαπητος εν* | T *ηυδοκησα*   4,*1* H [*ο*]   *2* T *και τεσσερ. νυκτ.*

*ὁ πειράζων εἶπεν αὐτῷ· εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ*
*ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. ὁ δὲ ἀπο-* 4 Dt 8,3.
*κριθεὶς εἶπεν· γέγραπται·* **οὐκ ἐπ' ἄρτῳ μόνῳ**
**ζήσεται ὁ ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκ-**
**πορευομένῳ διὰ στόματος θεοῦ.** *Τότε παραλαμ-* 5 27,53.
*βάνει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν πόλιν, καὶ*
*ἔστησεν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, καὶ* 6 Ps 91,11.12.
*λέγει αὐτῷ· εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν*
*κάτω· γέγραπται γὰρ ὅτι* **τοῖς ἀγγέλοις αὐτοῦ ἐν-**
**τελεῖται περὶ σοῦ καὶ ἐπὶ χειρῶν ἀροῦσίν σε,**
**μή ποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.**
*ἔφη αὐτῷ ὁ Ἰησοῦς· πάλιν γέγραπται·* **οὐκ ἐκ-** 7 Dt 6,16.
**πειράσεις κύριον τὸν θεόν σου.** *Πάλιν παρα-* 8
*λαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν,*
*καὶ δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ*
*κόσμου καὶ τὴν δόξαν αὐτῶν, καὶ εἶπεν αὐτῷ·* 9
*ταῦτά σοι πάντα δώσω, ἐὰν πεσὼν προσκυνήσῃς*
*μοι. τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· ὕπαγε, σατανᾶ·* 10 Dt 6,13.
*γέγραπται γάρ·* **κύριον τὸν θεόν σου προσκυνήσεις**
**καὶ αὐτῷ μόνῳ λατρεύσεις.** *Τότε ἀφίησιν αὐτὸν* 11 J 1,51. H 1,6.14.
*ὁ διάβολος, καὶ ἰδοὺ ἄγγελοι προσῆλθον καὶ*
*διηκόνουν αὐτῷ.*
*Ἀκούσας δὲ ὅτι Ἰωάννης παρεδόθη ἀνεχώρησεν* 12 12–17: Mc 1,14.15.
*εἰς τὴν Γαλιλαίαν. καὶ καταλιπὼν τὴν Ναζαρὰ* 13 L 4,14.15. 14,3.
*ἐλθὼν κατῴκησεν εἰς Καφαρναοὺμ τὴν παραθα-*
*λασσίαν ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ· ἵνα* 14 Is 8,23; 9,1.
*πληρωθῇ τὸ ῥηθὲν διὰ Ἠσαΐου τοῦ προφήτου*
*λέγοντος·*
**γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁδὸν θαλάσσης,** 15
**πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, ¹ ὁ λαὸς ὁ** 16
**καθήμενος ἐν σκοτίᾳ φῶς εἶδεν μέγα, καὶ τοῖς καθημέ-**
**νοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλεν αὐτοῖς.**

---

*3 ειπε* : H *ειπον* *10 υπαγε* : h^r^+ *οπισω* [*μου*] *16* T *σκοτει*

---

*7 ου πειρασεις*

3,2. 17 *Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν καὶ λέγειν·
μετανοεῖτε· ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.*
18–22: 18 *Περιπατῶν δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλι-*
Mc 1,16–20. L 5,1–11. *λαίας εἶδεν δύο ἀδελφούς, Σίμωνα τὸν λεγόμενον
Πέτρον καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλον-
τας ἀμφίβληστρον εἰς τὴν θάλασσαν· ἦσαν γὰρ*
13,47. Ez 47,10. 19 *ἁλεεῖς. καὶ λέγει αὐτοῖς· δεῦτε ὀπίσω μου, καὶ*
19,27. 20 *ποιήσω ὑμᾶς ἁλεεῖς ἀνθρώπων. οἱ δὲ εὐθέως*
21 *ἀφέντες τὰ δίκτυα ἠκολούθησαν αὐτῷ. Καὶ προ-
βὰς ἐκεῖθεν εἶδεν ἄλλους δύο ἀδελφούς, Ἰάκωβον
τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελφὸν
αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς
αὐτῶν καταρτίζοντας τὰ δίκτυα αὐτῶν· καὶ ἐκά-*
22 *λεσεν αὐτούς. οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον
καὶ τὸν πατέρα αὐτῶν ἠκολούθησαν αὐτῷ.*
Mc 1,39. L 4,15.44. Act 10,38. 23 *Καὶ περιῆγεν ἐν ὅλῃ τῇ Γαλιλαίᾳ, διδάσκων
ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐαγγέ-
λιον τῆς βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον*
Mc 6,55. 24 *καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ. καὶ ἀπῆλθεν
ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν· καὶ προσ-
ήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας ποικί-
λαις νόσοις καὶ βασάνοις συνεχομένους, δαιμονι-
ζομένους καὶ σεληνιαζομένους καὶ παραλυτικούς,*
Mc 3,7.8. L 6,17–19. 25 *καὶ ἐθεράπευσεν αὐτούς. καὶ ἠκολούθησαν αὐτῷ
ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας καὶ Δεκαπόλεως
καὶ Ἱεροσολύμων καὶ Ἰουδαίας καὶ πέραν τοῦ*
c 5–7: L 6,20–49. 5 *Ἰορδάνου. Ἰδὼν δὲ τοὺς ὄχλους ἀνέβη εἰς τὸ
ὄρος· καὶ καθίσαντος αὐτοῦ προσῆλθαν αὐτῷ οἱ*
2 *μαθηταὶ αὐτοῦ· καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ
ἐδίδασκεν αὐτοὺς λέγων·*
Is 57,15. 3 *Μακάριοι **οἱ πτωχοὶ** τῷ πνεύματι, ὅτι αὐτῶν
ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.*

---

*17* **h—** *μετανοειτε et γαρ*   *24 συνεχομ.:* T+ *και*
5,*1* H [*αυτω*]

---

*18 παραγων*

*μακάριοι* ***οἱ πενθοῦντες,*** *ὅτι αὐτοὶ* ***παρακλη-*** 4 Ps 126,5. Is 61,2. Ap 7,17.
***θήσονται.***
*μακάριοι* ***οἱ πραεῖς,*** *ὅτι αὐτοὶ* ***κληρονομήσουσιν*** 5 Ps 37,11.
***τὴν γῆν.***
*μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιο-* 6
*σύνην, ὅτι αὐτοὶ χορτασθήσονται.*
*μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.* 7 Jc 2,13.
*μακάριοι* ***οἱ καθαροὶ τῇ καρδίᾳ,*** *ὅτι αὐτοὶ τὸν* 8 Ps 24,4; 51,12. 1 J 3,2.3.
*θεὸν ὄψονται.*
*μακάριοι οἱ εἰρηνοποιοί, ὅτι [αὐτοὶ] υἱοὶ θεοῦ* 9 H 12,14.
*κληθήσονται.*
*μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι* 10 1 P 3,14.
*αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.*
*μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσιν* 11 1 P 4,14.
*καὶ εἴπωσιν πᾶν πονηρὸν καθ' ὑμῶν ψευδόμενοι*
*ἕνεκεν ἐμοῦ. χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς* 12 Jc 5,10. H 11,33—38.
*ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· οὕτως γὰρ ἐδίωξαν*
*τοὺς προφήτας τοὺς πρὸ ὑμῶν.*
*Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς· ἐὰν δὲ τὸ ἅλας* 13 Mc 9,50. L 14,34.35.
*μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; εἰς οὐδὲν ἰσχύει*
*ἔτι εἰ μὴ βληθὲν ἔξω καταπατεῖσθαι ὑπὸ τῶν*
*ἀνθρώπων. Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου.* 14 J 8,12.
*οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη·*
*οὐδὲ καίουσιν λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ* 15 Mc 4,21.
*τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει*
*πᾶσιν τοῖς ἐν τῇ οἰκίᾳ. οὕτως λαμψάτω τὸ φῶς* 16 E 5,8.9. 1 P 2,12.
*ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν*
*τὰ καλὰ ἔργα καὶ δοξάσωσιν τὸν πατέρα ὑμῶν*
*τὸν ἐν τοῖς οὐρανοῖς.*
*Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον* 17 3,15. R 3,31; 10,4.
*ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι ἀλλὰ*
*πληρῶσαι. ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ* 18 L 16,17; 21,33.

---

*4.5* h[r] ⊣⊢ T *5.4* *9* T— [αυτοι] *11* T *διωξουσιν* *13* T *αλα bis*

---

*11 — ψευδομενοι | εμου : δικαιοσυνης* *12 προ υμων: + υπαρχοντας*

*ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ*
*μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένη-*
Jc 2,10. 19 *ται. ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων*
*τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτως τοὺς ἀνθρώπους,*
*ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν·*
*ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κλη-*
20 *θήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. λέγω γὰρ*
*ὑμῖν ὅτι ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη*
Ex 20,13; *πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ*
21,12. Lv 24,17. 21 *εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ἠκού-*
Dt 17,8. *σατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις·* **οὐ φονεύσεις·** *ὃς*
1 J 3,15. 22 *δ' ἂν φονεύσῃ, ἔνοχος ἔσται τῇ κρίσει. ἐγὼ δὲ*
*λέγω ὑμῖν ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ*
*αὐτοῦ ἔνοχος ἔσται τῇ κρίσει· ὃς δ' ἂν εἴπῃ τῷ*
*ἀδελφῷ αὐτοῦ ῥακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ·*
*ὃς δ' ἂν εἴπῃ μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν*
Mc 11,25. 23 *τοῦ πυρός. ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου*
*ἐπὶ τὸ θυσιαστήριον κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελ-*
24 *φός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν*
*σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε πρῶ-*
*τον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν*
6,14.15; 18,35. 25 *πρόσφερε τὸ δῶρόν σου. ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ*
L 12,58.59. *σου ταχὺ ἕως ὅτου εἶ μετ' αὐτοῦ ἐν τῇ ὁδῷ·*
*μή ποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ καὶ ὁ*
*κριτὴς τῷ ὑπηρέτῃ, καὶ εἰς φυλακὴν βληθήσῃ·*
26 *ἀμὴν λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν ἕως ἂν*
Ex 20,14. 27 *ἀποδῷς τὸν ἔσχατον κοδράντην. Ἠκούσατε ὅτι*
Iob 31,1. 28 *ἐρρέθη·* **οὐ μοιχεύσεις.** *ἐγὼ δὲ λέγω ὑμῖν ὅτι*
2 P 2,14. *πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι*
*[αὐτὴν] ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ.*
29 *εἰ δὲ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε,*

---

*18* H *κερεα* | *αν* : H [*αν*] *21* R *ερρηθη, 27. 31. 33. 38. 43.*
*22 αυτου* 1° : h^r + *εικη* | T *ραχα* *28* [*αυτην*] : R—T

---

*18 του νομου* : + *και των προφητων* *27 ερρεθη* : +
*τοις αρχαιοις*

ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ· συμφέρει γάρ σοι 18,8.9. Mc 9,43.47.
ἵνα ἀπόληται ἓν τῶν μελῶν σου καὶ μὴ ὅλον τὸ Kol 3,5.
σῶμά σου βληθῇ εἰς γέενναν. καὶ εἰ ἡ δεξιά 30
σου χεὶρ σκανδαλίζει σε, ἔκκοψον αὐτὴν καὶ βάλε
ἀπὸ σοῦ· συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν
μελῶν σου καὶ μὴ ὅλον τὸ σῶμά σου εἰς γέενναν
ἀπέλθῃ. Ἐρρέθη δέ· **ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα** 31 19,8–9. Dt 24,1.
**αὐτοῦ, δότω αὐτῇ ἀποστάσιον.** ἐγὼ δὲ λέγω ὑμῖν 32 L 16,18. 1 K 7,10.11.
ὅτι πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ παρεκτὸς
λόγου πορνείας ποιεῖ αὐτὴν μοιχευθῆναι, καὶ ὃς
ἐὰν ἀπολελυμένην γαμήσῃ, μοιχᾶται. Πάλιν 33 Ex 20,7. Lv 19,12.
ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις· **οὐκ ἐπιορκή-** Nu 30,3.
**σεις, ἀποδώσεις δὲ τῷ κυρίῳ τοὺς ὅρκους σου.** 23,16–22.
ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως· μήτε ἐν **τῷ** 34 Is 66,1. Act 7,49.
**οὐρανῷ**, ὅτι **θρόνος ἐστὶν τοῦ θεοῦ**· μήτε ἐν **τῇ** 35 Ps 48,3.
**γῇ**, ὅτι **ὑποπόδιόν ἐστιν τῶν ποδῶν αὐτοῦ**· μήτε
εἰς Ἱεροσόλυμα, ὅτι **πόλις** ἐστὶν **τοῦ** μεγάλου βα-
σιλέως· μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς, ὅτι οὐ 36
δύνασαι μίαν τρίχα λευκὴν ποιῆσαι ἢ μέλαιναν.
ἔστω δὲ ὁ λόγος ὑμῶν ναὶ ναί, οὒ οὔ· τὸ δὲ περισ- 37 2 K 1,17. Jc 5,12.
σὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν. Ἠκούσατε 38 Lv 24,19.20.
ὅτι ἐρρέθη· **ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα**
**ἀντὶ ὀδόντος.** ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι 39 J 18,22.23. Lv 19,18.
τῷ πονηρῷ· ἀλλ᾽ ὅστις σε ῥαπίζει εἰς τὴν δεξιὰν
σιαγόνα [σου], στρέψον αὐτῷ καὶ τὴν ἄλλην· καὶ 40 1 K 6,7.
τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου
λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον· καὶ ὅστις σε 41
ἀγγαρεύσει μίλιον ἕν, ὕπαγε μετ᾽ αὐτοῦ δύο. τῷ 42
αἰτοῦντί σε δός, καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανί-
σασθαι μὴ ἀποστραφῇς. Ἠκούσατε ὅτι ἐρρέθη· 43 Lv 19,18.
**ἀγαπήσεις τὸν πλησίον σου** καὶ μισήσεις τὸν ἐχθρόν

---

*32* H [*και ος εαν απολ. γαμ. μοιχ.*] *37 εστω* : h *εσται* | h[r] *τό Ναί ναί καὶ τό Οὔ οὔ* *39* [*σου*] : R—T

---

*32 ος αν απολυση* *39 — δεξιαν*

Ex 23, 4.5.
R 12,14.20. 44 σου. ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς
L 23,34. Act 7,59. ὑμῶν καὶ προσεύχεσθε ὑπὲρ τῶν διωκόντων ὑμᾶς·
E 5,1. 45 ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν
οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ
πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει ἐπὶ δικαίους
46 καὶ ἀδίκους. ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶν-
τας ὑμᾶς, τίνα μισθὸν ἔχετε; οὐχὶ καὶ οἱ τελῶ-
47 ναι τὸ αὐτὸ ποιοῦσιν; καὶ ἐὰν ἀσπάσησθε τοὺς
ἀδελφοὺς ὑμῶν μόνον, τί περισσὸν ποιεῖτε; οὐχὶ
Lv 19,2. 48 καὶ οἱ ἐθνικοὶ τὸ αὐτὸ ποιοῦσιν; **Ἔσεσθε οὖν ὑμεῖς
τέλειοι ὡς ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστιν.**
6 Προσέχετε [δὲ] τὴν δικαιοσύνην ὑμῶν μὴ ποιεῖν
ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι
αὐτοῖς· εἰ δὲ μήγε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ
2 πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς. Ὅταν οὖν
ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου,
ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς
καὶ ἐν ταῖς ῥύμαις, ὅπως δοξασθῶσιν ὑπὸ τῶν
ἀνθρώπων· ἀμὴν λέγω ὑμῖν, ἀπέχουσιν τὸν μισ-
25,37–40. R 12,8. 3 θὸν αὐτῶν. σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην μὴ
4 γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου, ὅπως
ᾖ σου ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ· καὶ ὁ πατήρ
5 σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι. Καὶ
ὅταν προσεύχησθε, οὐκ ἔσεσθε ὡς οἱ ὑποκριταί·
ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γω-
νίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως
φανῶσιν τοῖς ἀνθρώποις· ἀμὴν λέγω ὑμῖν, ἀπέ-
2 Rg 4,33. 6 χουσιν τὸν μισθὸν αὐτῶν. σὺ δὲ ὅταν προσεύχῃ,
**εἴσελθε εἰς τὸ ταμεῖόν σου καὶ κλείσας τὴν θύραν**

---

*46* το αυτο : h ουτως    6,*1* [δε] : T | T — τοις    *4* T ἡ σοῦ ελεημ. ᾖ

---

*44* υμων : + ευλογειτε τους καταρωμενους υμας, καλως ποιειτε τοις μισουσιν υμας | των : + επηρεαζοντων και *47* αδελφ. : φιλους | εθνικοι : τελωναι    6,*1* δικαιοσ. : ελεημοσυνην *5* προσευχη ουκ εση

*σου πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ·*
*καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει*
*σοι. Προσευχόμενοι δὲ μὴ βατταλογήσητε ὥσπερ* 7 Is 1,15.
*οἱ ἐθνικοί· δοκοῦσιν γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν*
*εἰσακουσθήσονται. μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς· οἶδεν* 8 32.
*γὰρ ὁ πατὴρ ὑμῶν ὧν χρείαν ἔχετε πρὸ τοῦ ὑμᾶς*
*αἰτῆσαι αὐτόν. οὕτως οὖν προσεύχεσθε ὑμεῖς·* 9 L 11,2–4.
*Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς·*
*Ἁγιασθήτω τὸ ὄνομά σου·*
*ἐλθάτω ἡ βασιλεία σου·* 10 7,21. L 22,42.
*γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ*
*ἐπὶ γῆς·*
*Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον·* 11
*καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ* 12 14.15. 18,21–35.
*ἡμεῖς ἀφήκαμεν τοῖς ὀφειλέταις ἡμῶν·*
*καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ* 13 1 Chr 29,11–13.
*ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.*
*Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παρα-* 14
*πτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν*
*ὁ οὐράνιος· ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις* 15 Mc 11,25.26.
*[τὰ παραπτώματα αὐτῶν], οὐδὲ ὁ πατὴρ ὑμῶν*
*ἀφήσει τὰ παραπτώματα ὑμῶν. Ὅταν δὲ* 16 Is 58,5–9.
*νηστεύητε, μὴ γίνεσθε ὡς οἱ ὑποκριταὶ σκυθρω-*
*ποί· ἀφανίζουσιν γὰρ τὰ πρόσωπα αὐτῶν ὅπως*
*φανῶσιν τοῖς ἀνθρώποις νηστεύοντες· ἀμὴν λέγω*
*ὑμῖν, ἀπέχουσιν τὸν μισθὸν αὐτῶν. σὺ δὲ* 17
*νηστεύων ἄλειψαί σου τὴν κεφαλὴν καὶ τὸ πρόσ-*
*ωπόν σου νίψαι, ὅπως μὴ φανῇς τοῖς ἀνθρώ-* 18
*ποις νηστεύων ἀλλὰ τῷ πατρί σου τῷ ἐν τῷ*
*κρυφαίῳ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ*
*κρυφαίῳ ἀποδώσει σοι.*

---

*8 γαρ* : H+ [*ο θεος*] *13* $h^r$+ *οτι σου εστιν η βασιλεια και η δυναμις και η δοξα εις τους αιωνας. αμην.* *15* [*τα παραπτ. αυτ.*] : R—T *18* h *νηστευων τοις ανθρ.*

---

*7 εθνικοι : υποκριται* *8 αιτ. αυτ. : ανοιξαι το στομα* *12 αφιο(ε)μεν*

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/